τίνα δ' ἂν[1]) χώραν εὔφρονα μᾶλλον
τῆσδ' ἀφικοίμεθα σὺν τοῖσδ' ἱκετῶν
ἐγχειριδίοις
ἐριοστέπτοισι[2]) κλάδοισιν;
ὦ πόλις[3]), ὦ γῆ καὶ λευκὸν ὕδωρ,
ὕπατοί τε θεοὶ καὶ δακρυτίμους[4])
χθόνιοι θήκας κατέχοντες,
καὶ Ζεὺς Σωτὴρ τρίτος, οἰκοφύλαξ
ὁσίων ἀνδρῶν, δέξασθ'[5]) ἱκέτην
τὸν θηλυγενῆ στόλον αἰδοίῳ
νεύματι[6]) χώρας· ἀρσενοπληθῆ δ'
ἑσμὸν ὑβριστὴν Αἰγυπτογενῆ,
πρὶν πόδα χέρσῳ τῇδ' ἐν ἀσώδει
θεῖναι, ξὺν ὄχῳ ταχυήρει
πέμψατε πόντονδ'. ἔνθα δὲ λαίλαπι
χειμωνοτύπῳ βροντῇ στεροπῇ τ'
ὀμβροφόροισίν τ' ἀνέμοις, ἀγρίας
ἁλὸς ἀντήσαντες, ὄλοιντο,
πρίν ποτε λέκτρων ὧν θέμις εἴργει,
σφετεριξάμενοι[7]) πατραδελφείαν
τήνδ', ἀκόντων[8]) ἐπιβῆναι·

(στροφὴ α΄.)

Νῦν δ' ἐπικεκλομένα[9])
Δῖον πόρτιν ὑπερπόντιον τιμάορ', ἶνιν[10])
ἀνθονόμου τὸν προγόνου βοὸς ἐξ ἐπιπνοίας
Ζηνός[11]) — ἔφαψιν ἐπωνυμίᾳ δ' ἐπεκραινεν
ἀμόρσιμος αἰὼν
εὐλόγως, Ἔπαφόν τ' ἐδένναξεν —,

[1]) V. 19. δ' ἂν für οὖν schrieb Hermann.
[2]) V. 22. codd. ἱεροστέπτοισι.
[3]) V. 23. Var. ὧν πόλις ὧν γῆ.
[4]) V. 24. Gew. βαρύτιμοι.
[5]) V. 27. Gew. δέξαιθ'. Heath besserte.
[6]) V. 29. Gew. πνεύματι.